**0345-0407 - Iohannes Chrysostomus - In principium indictionis [1]**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 251 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In principium indictionis, in martyresὰ

[00002] Εἰς τὴν ἀρχὴν τῆς ἰνδικτιῶνος τοῦ νέου ἔτους, καὶ εἰς μάρτυρας, καὶ εἰς αἱμόῤῥουν.

59.575

[00003] α′.

[00004] Ἐπάλληλον σημεῖον παρὰ τοῦ Δεσπότου Χριστοῦ ἡ τῶν ἀγαθῶν ἐπομβρία, καὶ ἄλλος ἄλλον διαδέχεται πλοῦτον.

[00005] Ἰδοὺ καὶ σήμερον ἡμᾶς ἑστιῶσιν οἱ καλλίνικοι μάρτυρες, τοὺς οἰκείους ἄθλους προτεθεικότες εἰς ἐπίκοινον εὐφροσύνης συμπόσιον.

[00006] Ἔδει γὰρ, ἔδει τοὺς ἀεὶ νεάζοντας τῇ χάριτι μάρτυρας, καὶ τῇ τοῦ ἔτους εἰσόδῳ γενέσθαι τοῖς εὐσεβέσιν ἀφορμὴν δεξιώσεως·

[00007] ἔδει τοιαύτην τῷ νέῳ ἐνιαυτῷ τοῖς πιστοῖς ὑπαντῆσαι τὴν ἀγαλλίασιν·

[00008] ἔδει μετὰ τοσαύτης ἡμᾶς εὐλογίας ἀσπάσασθαι τῆς τοῦ χρόνου ἐναλλαγῆς τὰ προοίμια·

[00009] ἔδει τὴν τῆς παρούσης ἡμέρας πανήγυριν τῷ χορῷ τῶν ἁγίων τετιμημένην ὑποδέξασθαι·

[00010] ἔδει τὸν κύκλον τοῦ ἔτους τῷ τῶν μαρτύρων κοσμηθῆναι στεφάνῳ·

[00011] ἔδει τοιαύτῃ χρήσασθαι ἐπὶ τοῦ ἐπιστάντος ἐνιαυτοῦ τῇ εὐωχίᾳ, ἐπαγομένους καὶ τὴν τῶν μαρτύρων τιμήν.

[00012] Αὐτοὶ γάρ εἰσι πάσης εὐφροσύνης τῷ γένει παραίτιοι οἱ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται, οἱ καὶ μετὰ θάνατον τῆς αὐτοῦ δυνάμεως κήρυκες, οἱ τὸν ἀπατεῶνα ὄφιν ποσὶ καρτερίας καταπατήσαντες, καὶ τὸν τυραννόφρονα λέοντα φιλοθεΐας χερσὶν ἀποπνίξαντες, καὶ τὴν ἀλήθειαν φανερώσαντες·

[00013] οἱ τὴν παροῦσαν ζωὴν ὡς ματαίαν μισήσαντες, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν, ὡς υἱοὶ μητέρα, ποθήσαντες·

[00014] οἱ διὰ θανάτου τὰς τῆς ἀθανασίας πύλας ἀνοίξαντες, καὶ τὸν τοῦ θανάτου γεννήτορα τῷ οἰκείῳ θανάτῳ νεκρώσαντες·

[00015] οἱ ἐν σώματι τοὺς ἀσωμάτους νικήσαντες δαίμονας, οὐ δυνάμει σώματος, ἀλλὰ πίστει ψυχῆς·

[00016] διὰ πίστεως γὰρ τῶν τοῦ κόσμου κατηγωνίσαντο πάντων, ἧς οὐδὲν Χριστιανοῖς αἱρετώτερον.

[00017] Πίστιν γὰρ κεκτημένοι συμπράκτορα τοὺς λόγους ἔργοις ἐβεβαίωσαν.

[00018] Μέγα μὲν γὰρ ὡς ἀληθῶς τὸ τῆς δικαιοσύνης κατόρθωμα·

[00019] λαμπρὰ δὲ καὶ τῆς σωφροσύνης ἡ ἀρετή·

[00020] χρήσιμος ὁμοίως καὶ τῆς φιλοπτωχίας ἡ ἐπιμέλεια·

[00021] καλὴ μετὰ τούτων καὶ τῆς ἐγκρατείας ἡ ἄσκησις·

[00022] φέρει δὲ τὴν κατὰ πάντων νίκην τὸ δυνατὸν τῆς πίστεως πλεονέκτημα.

[00023] Αὕτη ποτὲ τοῦ Ἀβραὰμ τὴν χερσεύουσαν τῆς Σάῤῥας γαστέρα μετὰ τὴν πολλὴν τοῦ χρόνου δαπάνην πρὸς γόνιμον ἐγεώργησεν ἄρουραν·

[00024] ταύτῃ καὶ Μωϋσῆς πεζεύεσθαι πλεομένην ἐποίησε θάλασσαν·

[00025] διὰ ταύτης Ἠλίας προσέταττεν οὐρανῷ, καὶ ἠκούετο·

[00026] αὕτη μυρία τῶν παθῶν ἐπὶ τοῦ Σωτῆρος ἀπεδίωξε γένη·

[00027] λεπρὸς διὰ πίστεως τῶν τοῦ πάθους ἀπηλλάγη φολίδων·

[00028] τυφλὸς δι' ἐκείνης ὀφθαλμοὺς, οὓς ἡ φύσις οὐκ ἤνεγκεν, ἀπέλαβε·

[00029] ταύτην συμμαχοῦσαν ἡ Χαναναία λαβοῦσα, βιασθεῖσα περὶ γονὴν ἀφήρπασε τὴν θυγατέρα τοῦ κατέχοντος δαίμονος.

[00030] Ἐξήρανε καὶ λανθάνουσα πίστις αἱμάτων ῥοὰς, καὶ ἐπ' ἄλλων μὲν προλαμβανούσης αἰτήσεως ἠκολούθει τὸ δῶρον, ἐνταῦθα δὲ σιγῶσα παρὰ σιγῶντος, ὡς ἐνόμιζεν, ἀπεσύλα τὸ χάρισμα.

[00031] Ὢ γυναικὸς ἀθλίας καὶ μακαρίας ὁμοῦ! ἀθλίας διὰ τὰ πρῴην, μακαρίας διὰ τὰ δεύτερα·

[00032] Ἰδοὺ γὰρ, φησὶ, Γυνὴ ἐν ῥύσει αἵματος αὐτῆς δώδεκα ἔτη.

[00033] Τοσοῦτος ἡμερῶν εἰ ἦν ἀριθμὸς, ὁπόσος ἐτῶν ἠνάλωτο χρόνος, κατεδάμασεν αὐτὴν ἂν, οὐχὶ δὲ ἔτη δώδεκα.

[00034] Εἰς φύσιν, ὡς οἶμαι, τὸ πάθος μετέπεσεν·

[00035] ἥτις ἰατροῖς προσαναλώσασα τὸν βίον ὅλον, τῷ τοῦ σώματος μαρασμῷ καὶ τὴν τῶν χρημάτων προσέθηκε μείωσιν·

[00036] ὑπ' οὐδενὸς δὲ ἴσχυσε θεραπευθῆναι.

[00037] Ὢ τὸ, Οὐκ ἴσχυσεν·

[00038] ἀνταγωνιστὴν εἶχεν ἡ γυνὴ τὸν τοῦ πάθους πολέμιον·

[00039] ἐπήγαζεν ἄρα τῆς γυναικὸς ἡ γαστὴρ, κρουνός τις αἱμάτων ἀνελλιπὴς κατεφέρετο·

[00040] οὐδὲ τοσούτου χρόνου τὸ μῆκος τῷ τῆς δυσωδίας ὀχετῷ τὴν φορὰν ἐδαπάνα.

[00041] Ὀδύναις ἔτι καὶ φροντίσιν ἐκόπτετο τὴν διάνοιαν, πῶς τὸν δεσμὸν διαῤῥήξει τοῦ χαλεποῦ ἀῤῥωστήματος, πῶς τὸ δωδεκάετες ἀποτινάξεται πάθος, πῶς λύσει τὰς ἀνενδότους ὠδῖνας, πῶς στήσει τὰ ἀχαλίνωτα ῥεῖθρα, πῶς παύσει τῶν φλεβῶν τὴν μανίαν·

[00042] πάντων ἰατρῶν νυκτοποροῦσα καὶ συρομένη κατετρίβετο θύραις·

[00043] παρῃτεῖτο γὰρ τὸ φῶς, μὴ αἱ τῶν αἱμάτων κατιοῦσαι σταγόνες ἀτραπὸν [59.576] ἐργασάμεναι, στηλιτεύσωσι τὴν λανθάνουσαν τῆς βαδιζούσης αἰσχύνην.

[00044] Μισθὸν τοῖς θεραπεύειν ἐθέλουσι, πᾶσαν ἣν εἶχε περιουσίαν ἐξήντλησε, τῆς ἀνάγκης βιαζομένης τὴν δόσιν·

[00045] ἡ γὰρ ἐπιθυμία τῆς ὑγιείας πείθει χρημάτων μὴ φείδεσθαι.

[00046] Καὶ οὕτως ἰατροὶ πάντες τῇ νόσῳ πολεμοῦντες, ἡτόνουν·

[00047] ποικίλαι φαρμάκων ἐπίνοιαι τὴν τοῦ πάθους οὐκ ἴσχυον ἐξημεροῦν ἀγριότητα·

[00048] ὥσπερ γάρ τι δύσκωφον θηρίον τῆς τῶν ἐπᾳδόντων τέχνης ἀνήκοον ἔμενεν, ὥσπερ ἀντιλέγειν τοιαῦτα δοκοῦν τοῖς βιαζομένοις ἀνόνητα·

[00049] Τί μάχεσθε δυνατωτέρῳ θηρίῳ;

[00050] χρόνος με τοσοῦτος τῆς ἐν σώματι νομῆς οὐκ ἐσύλησεν, ἰατρευόντων ἐπιστήμαις οὐκ εἴκω χρήμασιν οὐδεὶς ἐξαγοράσει τὴν δύναμιν, οὐδείς μου τὴν φορὰν τῶν ἐπὶ γῆς ἀνακόψει·

[00051] εἷς με μόνος ἐκ παρθένου γεννηθεὶς ἰατρὸς φυγαδεύσει·

[00052] ἐκείνου κἀγὼ πρὸς δόξαν φυλάττομαι·

[00053] μάρτυς μετὰ τῶν ἄλλων τῆς ἐκείνου τηροῦμαι δυνάμεως.

[00054] Τί οὖν ἀπράκτους ἐπιδείκνυσθε πόνους, δεσπότου προαρπάζειν οἱ δοῦλοι βιαζόμενοι νίκην;

[00055] Οὐ φείσομαι τοῦ πλάσματος, ἂν μὴ τὸν πλάστην θεάσωμαι.

[00056] Ὢ πόσα τῇ γυναικὶ τὰ μαχόμενα! χρόνου μῆκος, ἀλγηδόνες ἀνένδοτοι, δημεύσεις ἀνωφέλητοι, μαραινομένου σώματος λύπη, λογισμὸς κεναῖς ἐλπίσι δαπανηθείς.

[00057] Ἀλλὰ τοσοῦτοι πολέμιοι τὸ τῆς πίστεως τῆς κινδυνευούσης οὐκ ἐσύλησαν ὅπλον·

[00058] τοσαῦται τῶν δεινῶν τρικυμίαι τῇ γυναικὶ ναυάγιον οὐκ εἰργάσαντο·

[00059] τοσαῦται πειρασμῶν προσβολαὶ τὴν ὑπομένουσαν οὐ κατέβαλον γυναῖκα.

[00060] Εἶδε, φησὶ, τὸν Ἰησοῦν.

[00061] Εἶδεν ἡ ἀπολλυμένη τὸν σώζοντα, εἶδεν ἡ δεδεμένη τὸν λυτρωτὴν, εἶδεν ἡ χειμαζομένη τοῦ κόσμου τὴν ἄγκυραν, εἶδε τὸν ἄνωθεν ἐλθόντα τῶν παθῶν βασιλέα, εἶδεν ἐλπίδα χαρᾶς ἀπροσδόκητον, εἶδε θεραπείαις ἀκαταγώνιστον δύναμιν, εἶδε πηγὴν ἰαμάτων ἀμισθὶ μερίζουσαν νάματα, εἶδε ζωὴν νεκρουμένοις ἐνδημήσασαν·

[00062] εἶδε, καὶ τοιαύτην εὐθυμίας ἀνέστρεφεν ἔννοιαν.

[00063] Εὗρον, λέγουσα, θεραπευτὴν ἐπιτήδειον·

[00064] οὗτος ὁ ἰατρὸς μισθὸν οὐκ ἀπαιτήσει χρυσίου·

[00065] ἕνα μισθὸν, ὡς οἶμαι, γνώμην ἀπαιτήσει γνησίαν·

[00066] μίαν πίστεως ἐπιζητήσει με δόσιν.

[00067] Ἀλλ' ἔχω·

[00068] ταύτης γάρ με μόνης ἡ νόσος οὐκ ἀπεστέρησεν.

[00069] Ἀλλὰ λογισμῶν ἀπορίαις ἀνθέλκομαι.

[00070] Τί γάρ;

[00071] προσδραμοῦσα κατάσχω;

[00072] Τὸν ἀπὸ τοῦ πλήθους ὑποστέλλομαι κίνδυνον.

[00073] Βοήσω τὰ κατ' ἐμαυτήν;

[00074] Διώξουσιν ὡς ἀκάθαρτον.

[00075] Κρύψω τὴν συμφοράν;

[00076] Ἀλλὰ τὴν ὀδύνην οὐ φέρω.

[00077] Ὡς ἰατρῷ προσδράμω τῆς φύσεως;

[00078] Ἀλλ' ὡς βασιλέα φοβοῦμαι.

[00079] Ὡς ἱκετεύουσαν δέξεται;

[00080] Μὴ ὡς μολύνουσαν φύγῃ.

[00081] Ἐλεήσει τὸ πάθος;

[00082] Μὴ κατακρίνῃ φανεῖσαν.

[00083] β΄.

[00084] Τί οὖν δράσω;

[00085] ποῖον ἀναδέξομαι λογισμόν;

[00086] ἀναίσχυντος φανῶ;

[00087] Αἰδοῦμαι, μὴ πάλιν ἀθεράπευτος μείνω.

[00088] Μὴ δειλιάσω τὸ πλῆθος, καταφρονήσω τοῦ δέους, θέατρον γένωμαι, φύγω τὸν ἔξωθεν γέλωτα·

[00089] ἰάσομαι τὸν ἔνδοθεν πόλεμον.

[00090] Ὁ νόμος ὡς ἐῤῥυπωμένην μισεῖ, ὁ νομοδότης ὡς νοσοῦσαν οἰκτείρει.

[00091] Προθυμία καὶ ὄκνος τῆς γυναικὸς τὴν ψυχὴν ἐμερίζοντο·

[00092] ἀλλ' εὗρε πίστιν μεσῖτιν τῆς ἐγχειρήσεως.

[00093] Προσελθοῦσα γὰρ, φησὶν, ὄπισθεν τοῦ Ἰησοῦ, Ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ.

[00094] Ἔλεγε γὰρ ἐν ἑαυτῇ, ὅτι Μόνον ἐὰν ἅψωμαι τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι.

[00095] Ὢ κλοπῆς πίστιν κτησαμένης μητέρα! ὢ κλοπῆς, ἣν αὐτὸς ἐπῄνεσεν ὁ τὰς κλοπὰς τιμωρούμενος! ὢ κλοπῆς τὸν κλαπέντα τερπούσης! ὢ σύλων στεφανουμένων ἐκ δικαστοῦ! Καὶ ὅρα τὸ θαυμαστόν.

[00096] Ληστεύσασα τὸ κέρδος, ὡς χαρισαμένη θαυμάζεται.

[00097] Ἔλεγε γὰρ ἐν ἑαυτῇ.

[00098] Ὁ Θεὸς, φησὶ, Δεσπότης ἐστὶν οὐδὲν ἀγνοῶν·

[00099] Δεσπότης, σωματικῶν ὀφθαλμῶν οὐ δεόμενος, ἰατρός ἐστι ψυχὰς ἰώμενος, ὀφθαλμός ἐστι λογισμοὺς ἐμβατεύων·

[00100] ὁρᾷ καὶ κρυπτομένην ἐμὲ, ἀκούει καὶ μὴ λαλούσης ἐμοῦ, ἅπτεται, κἂν ἀφέστηκα·

[00101] οἶδεν, ὅτι πάντως ὡς ἀναξία τὴν θέαν οὐκ ἤνεγκα.

[00102] Τί οὖν;

[00103] Λανθάνουσαν ποιήσομαι πρόσοδον, [59.577] καὶ τῇ γνώμῃ τιμῶσα, καὶ οὐ καθυβρίζουσα τῇ ὄψει, κατόπιν ἅψομαι τοῦ χιτῶνος ἐλθοῦσα·

[00104] ἀρκεῖ μοι καὶ τοῦτο μόνον, ἂν ἐπιτύχω, πρὸς ἴασιν·

[00105] πάντως γάρ που καὶ αὐτὸς τῆς τοῦ φοροῦντος ἐνεργείας πεπλήρωται.

[00106] Οὐ δύναται γὰρ τὸ τῆς ζωῆς περιβόλαιον μὴ καὶ αὐτὸ σωτηρίας ἀποπέμπειν ἀκτῖνας.

[00107] Μέγας ἦν ἐν προφήταις Μωϋσῆς, καὶ λαοῦ δυσκόλου σωφρονιστὴς, ἀλλ' ὅμως ἄνθρωπος·

[00108] οὗτος δεσπότης ἐκείνου, καὶ φιλάνθρωπος.

[00109] Εἰ οὖν τοῦ δούλου ἡ ῥάβδος τὴν Ἐρυθρὰν διέτεμε θάλασσαν, τειχοποιίαν ἐργασαμένη ἐν τοῖς ὕδασι, πῶς οὐκ ἂν τοῦ Δεσπότου τὸ κράσπεδον πετρώσῃ τῶν αἱμάτων τὰ ῥεύματα;

[00110] Ζηλωτὴς ὁ Ἠλίας, καὶ θερμὸς τοῦ Θεοῦ ὑπηρέτης, ἀλλὰ καὶ αὐτὸς εἷς ὑπῆρχε τῆς φύσεως, καὶ ὅμως μηλωτὴν εἶχε θαυμάτων ἐργάτιν.

[00111] Αὖθις Ἐλισσαῖος κληρονομήσας μετὰ προσθήκης τοῦ διδασκάλου τὴν χάριν, ἐχαλίνου τῇ μηλωτῇ τοῦ Ἰορδάνου τὰ ῥεῖθρα.

[00112] Εἰ οὖν τοσαύτη παρὰ τοῖς προφήταις ἡ χάρις, πόση ἔσται τοῦ παρ' αὐτῶν προφητευομένου ἡ δύναμις;

[00113] Τί συντόμως οὐ λέγω;

[00114] Πέτρου ἡ σκιὰ θεραπεύει·

[00115] καὶ τὸ τοῦ Χριστοῦ ἱμάτιον οὐκ ἰάσεται;

[00116] Αἰσθάνομαι, πόσον μοι καὶ τὸ βουλεύσασθαι μόνον τὴν τρέχουσαν ἐχαλίνωσε νόσον.

[00117] Ὢ πίστεως, ἀναβολὴν μὴ παρασχούσης τῷ πάθει! Ἐπίστευσε γὰρ μόνον, καὶ τὸ πολεμοῦν ἐδραπέτευεν·

[00118] ἐπίστευσε, καὶ τὸ φιλόνεικον οὐκ ἀντεῖπε θηρίον·

[00119] ἐπίστευσε, καὶ ἡ τῶν αἱμάτων ἀένναος ἐξηράνθη πηγὴ, καθάπερ ὑπό τινος ἀοράτου τυφλωθεῖσα καυτῆρος.

[00120] Ἀλλ' ἡ μὲν ἱματίου καθήπτετο, καὶ τοῖς ἔξωθεν παρήγγιζεν·

[00121] ὁ δὲ τοὺς ἔνδοθεν λογισμοὺς ἐπεγίνωσκεν.

[00122] Ἐκείνη μὲν ἀφανῶς τῷ σώματι τὴν θεραπείαν ἐξήντλησεν·

[00123] ὁ Σωτὴρ δὲ αὐτῆς τὸ ψυχικὸν ἐδημοσίευσε κάλλος·

[00124] οὐκ εἴασε γὰρ τοιαύτην εὐσεβείας ἀθριάμβευτον ὡραιότητα·

[00125] οὐκ ἀφῆκε δικαιοσύνης σπινθῆρα λήθης παραδοθῆναι νυκτί.

[00126] Ἐχαρίσατο τῷ βίῳ ἡ τῶν Εὐαγγελίων διήγησις, μιᾶς γυναικὸς πίστιν, Θεὸν καλῶς συλησάσης τῇ ἀδιστάκτῳ γνώμῃ.

[00127] Τίς ἡ διὰ κλοπὴν ὡς πίστει τιμωμένη;

[00128] Προέλαβε τὸν λῃστὴν ἡ πίστις τῆς γυναικός·

[00129] πρὸ τῆς ἐκείνου γλώσσης ἡ ταύτης [59.578] εὐφημεῖται παλάμη·

[00130] πρὶν ἐκεῖνος φωνῇ συλήσῃ τὸν παράδεισον, ἐλῄστευσεν αὕτη τῆς βασιλείας τὸν χορηγὸν τῇ σιωπῇ.

[00131] Γνοὺς γὰρ, φησὶν, ὁ Ἰησοῦς τὴν ἐξελθοῦσαν δύναμιν ἐξ αὐτοῦ, ἐπηρώτα τοὺς μαθητὰς, τίς μου ἥψατο;

[00132] πῶς οὐκ ἔγνωτε τὴν κλοπήν;

[00133] πῶς ἠγνοήσατε τὴν λῃστείαν;

[00134] τίς μου ἥψατο;

[00135] τίς νόσου ἐκ τῶν ἐμῶν θησαυρῶν ὑγείαν ἐπλούτησε;

[00136] τίς μου ἥψατο;

[00137] Τί λέγεις, ὦ Δέσποτα;

[00138] σὺ δέδωκας, καὶ τὴν δεξαμένην οὐκ οἶδας;

[00139] τὴν πίστιν εἶδες, καὶ τὴν πιστεύουσαν οὐκ ἐγνώρισας;

[00140] τὴν λανθάνουσαν κατενόησας γνώμην, καὶ τὴν φαινομένην οὐκ ἐσκόπησας ὄψιν;

[00141] Τίς μου ἥψατο;

[00142] Τίς σου ἥψατο;

[00143] τίνι τὸ φάρμακον τῆς ἐνεργείας ἐπέθηκας;

[00144] τίνι τὴν ἴασιν ἐξέπεμψας, Δέσποτα;

[00145] Τὸ πάθος ἐδίωξας, καὶ τὴν σωθεῖσαν ἠγνόησας;

[00146] Τίς μου ἥψατο;

[00147] τίς με τῇ διανοίᾳ πρὸ τῶν χειρῶν ἐψηλάφησε, τίς μου κατέσχε λογισμὸς τὴν θεότητα;

[00148] τίς ὁ δίκαιος οὗτος τῆς ἐμῆς ἐνεργείας λῃστής;

[00149] τίς αὐτοῦ τῆς ἐσβεσμένης σωτηρίας τὸν λύχνον ὑπανῆψεν ἐκ τῆς ἐμῆς λαμπάδος;

[00150] Τίς μου ἥψατο;

[00151] Ἢ μάθω παρ' ὑμῶν, ἢ διδάσκω.

[00152] Ἐβουλόμην πρὸς τὸ τῆς ὑποθέσεως πέρας δραμεῖν·

[00153] ὁ καιρὸς δὲ λοιπὸν ἑτέραν τῷ θαύματι φυλάττει διδασκαλίας ἡμέραν.

[00154] Εἰ γὰρ ἐκείνη δωδεκαέτη χρόνον πολεμηθεῖσα τῷ πάθει, τὸν τῆς ὑπομονῆς οὐκ ἐξέλυσε τόνον, ἡμεῖς ἄλλην μίαν ἡμέραν τοῖς μακροῖς ἀγῶσι τῆς γυναικὸς οὐκ ἐναπομείνωμεν;

[00155] ἧς τὴν πίστιν καὶ ὁ τῶν μαρτύρων δῆμος ἐζήλωσεν, οὐ δεσποτικῶν κρασπέδων ἁψάμενοι, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα διὰ Χριστὸν ἐκδυσάμενοι.

[00156] Καὶ ἡμεῖς τοίνυν, ἀγαπητοὶ, πρὸς ζῆλον τῆς ὁμοίας πίστεως τὰς ἡμετέρας διαναστήσωμεν γνώμας·

[00157] μὴ γενώμεθα χείρους μιᾶς γυναικὸς ἀλλοφύλου, εἰ εἰς εὐσέβειαν πλέον ἡμεῖς ἢ ἐκείνη ἀπελαύσαμεν θέας.

[00158] Ἐκείνη μόνον ἤρκεσεν ἅπαξ ἱματίου καθάψασθαι·

[00159] ἡμεῖς δὲ καθ' ἑκάστην, ὡς ἴστε, τὸ τοῦ Σωτῆρος σῶμα κατέχοντες, κἂν ὡς τρεφόμενοι τοῖς τοῦ Δεσπότου μέλεσιν, εὐχαριστίαν προσφέρωμεν·

[00160] αὐτῷ γὰρ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00161] Ἀμήν.

[00162] ἀ

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In principium indictionis [1]**
**Litterarum Omnium Conspectus: 122 Litterae, quae repetitae sunt in 8,605 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 633 | Α | 0913 | 5 |

| | | | | | |
|---|---|---|---|---|---|
| β | 0946 | 37 | Β | 0914 | 1 |
| γ | 0947 | 126 | Γ | 0915 | 2 |
| δ | 0948 | 166 | Δ | 0916 | 0 |
| ε | 0949 | 441 | Ε | 0917 | 9 |
| ζ | 0950 | 22 | Ζ | 0918 | 1 |
| η | 0951 | 158 | Η | 0919 | 0 |
| θ | 0952 | 128 | Θ | 0920 | 3 |
| ι | 0953 | 344 | Ι | 0921 | 1 |
| κ | 0954 | 234 | Κ | 0922 | 4 |
| λ | 0955 | 207 | Λ | 0923 | 2 |
| μ | 0956 | 291 | Μ | 0924 | 9 |
| ν | 0957 | 722 | Ν | 0925 | 0 |
| ξ | 0958 | 28 | Ξ | 0926 | 0 |
| ο | 0959 | 586 | Ο | 0927 | 3 |
| π | 0960 | 263 | Π | 0928 | 5 |
| ρ | 0961 | 291 | Ρ | 0929 | 0 |
| ς | 0962 | 404 | • | 0930 | 0 |
| σ | 0963 | 393 | Σ | 0931 | 4 |
| τ | 0964 | 671 | Τ | 0932 | 15 |
| υ | 0965 | 182 | Υ | 0933 | 0 |
| φ | 0966 | 69 | Φ | 0934 | 0 |
| χ | 0967 | 67 | Χ | 0935 | 6 |
| ψ | 0968 | 23 | Ψ | 0936 | 0 |
| ω | 0969 | 130 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 5 | | | 0 |
| ῥ | 8165 | 11 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 119 | έ | 8051 | 111 | ή | 8053 | 54 | ί | 8055 | 161 | ό | 8057 | 84 | ύ | 8059 | 81 | ώ | 8061 | 29 |
| ὰ | 8048 | 64 | ὲ | 8050 | 18 | ὴ | 80852 | 78 | ὶ | 8054 | 76 | ὸ | 8056 | 88 | ὺ | 8058 | 14 | ὼ | 8060 | 1 |
| ᾶ | 8118 | 6 | | | 0 | ῆ | 8134 | 69 | ῖ | 8150 | 40 | | | 0 | ῦ | 8166 | 84 | ῶ | 8182 | 69 |
| ἀ | 7936 | 79 | ἐ | 7952 | 106 | ἠ | 7968 | 6 | ἰ | 7984 | 37 | ὀ | 8000 | 5 | ὐ | 8016 | 66 | ὠ | 8032 | 1 |
| ἁ | 7937 | 2 | ἑ | 7953 | 5 | ἡ | 7969 | 34 | ἱ | 7985 | 23 | ὁ | 8001 | 15 | ὑ | 8017 | 14 | ὡ | 8033 | 17 |

| | | | | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἂ | 7938 | 6 | ἒ | 7954 | 0 | ἢ | 7970 | 2 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 3 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 2 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 1 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 12 | ἔ | 7956 | 22 | ἤ | 7972 | 3 | ἴ | 7988 | 8 | ὄ | 8004 | 5 | ὔ | 8020 | 0 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 4 | ἕ | 7957 | 1 | ἥ | 7973 | 8 | ἵ | 7989 | 1 | ὅ | 8005 | 7 | ὕ | 8021 | 5 | ὥ | 8037 | 2 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 2 | ἶ | 7990 | 18 | | | 0 | ὖ | 8022 | 6 | ὦ | 8038 | 1 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 2 | ἷ | 7991 | 2 | | | 0 | ὗ | 8023 | 5 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ϋ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 3 | | | 0 | ῃ | 8131 | 13 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 10 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 2 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 1 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 17 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 19 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In principium indictionis [1]**

**Verborum Omnium Conspectus: 913Verba, quae repetita sunt in 3,520,219 occasionibus**

---

**ἀ** [00162]
**α** [00003]
**Ἀβραὰμ** [00023]
**ἀγαθῶν** [00004]
**ἀγαλλίασιν** [00007]
**ἀγαπητοὶ** [00156]
**ἁγίων** [00009]
**ἄγκυραν** [00061]
**ἀγνοῶν** [00098]
**ἀγριότητα** [00047]
**ἀγῶσι** [00154]
**ἀδιστάκτῳ** [00126]
**ἀεὶ** [00006]
**ἀένναος** [00119]
**ἀθανασίας** [00014]
**ἀθεράπευτος** [00087]
**ἀθλίας** [00031] [00031]
**ἄθλους** [00005]
**ἀθριάμβευτον** [00124]
**αἱ** [00043]
**Αἰδοῦμαι** [00087]
**αἵματος** [00032]
**αἱμάτων** [00030] [00039] [00043] [00109] [00119]
**αἱμόῤῥουν** [00002]
**αἱρετώτερον** [00016]
**Αἰσθάνομαι** [00116]
**αἰσχύνην** [00043]
**αἰτήσεως** [00030]
**αἰῶνας** [00160]
**αἰώνων** [00160]
**ἀκάθαρτον** [00074]
**ἀκαταγώνιστον** [00061]
**ἀκούει** [00100]
**ἀκτῖνας** [00106]

**ἀλγηδόνες** [00056]
**ἀλήθειαν** [00012]
**ἀληθῶς** [00018]
**ἀλλ** [00092] [00107]
**Ἀλλ** [00067] [00078] [00120]
**ἀλλὰ** [00015] [00110] [00155]
**Ἀλλὰ** [00057] [00069] [00076]
**ἄλλην** [00154]
**ἄλλον** [00004]
**ἄλλος** [00004]
**ἀλλοφύλου** [00157]
**ἄλλων** [00030] [00053]
**Ἀμήν** [00161]
**ἀμισθὶ** [00061]
**ἂν** [00033] [00055] [00104] [00109]
**ἀναβολὴν** [00117]
**ἀνάγκης** [00044]
**ἀναδέξομαι** [00085]
**ἀναίσχυντος** [00086]
**ἀνακόψει** [00050]
**ἀναξία** [00101]
**ἀνελλιπὴς** [00039]
**ἀνένδοτοι** [00056]
**ἀνενδότους** [00041]
**ἀνέστρεφεν** [00062]
**ἀνήκοον** [00048]
**ἀνθέλκομαι** [00069]
**ἄνθρωπος** [00107]
**ἀνοίξαντες** [00014]
**ἀνόνητα** [00048]
**ἀνταγωνιστὴν** [00038]
**ἀντεῖπε** [00118]
**ἀντιλέγειν** [00048]
**ἄνωθεν** [00061]
**ἀνωφέλητοι** [00056]
**ἀοράτου** [00119]
**ἀπαιτήσει** [00064] [00065]
**ἅπαξ** [00158]
**ἀπατεῶνα** [00012]
**ἀπεδίωξε** [00026]
**ἀπέλαβε** [00028]
**ἀπελαύσαμεν** [00157]
**ἀπεστέρησεν** [00068]
**ἀπεσύλα** [00030]
**ἀπηλλάγη** [00027]
**ἀπολλυμένη** [00061]
**ἀποπέμπειν** [00106]
**ἀποπνίξαντες** [00012]
**ἀπορίαις** [00069]
**ἀποτινάξεται** [00041]
**ἀπράκτους** [00054]
**ἀπροσδόκητον** [00061]
**ἅπτεται** [00100]
**ἄρα** [00039]
**ἀρετή** [00019]
**ἀριθμὸς** [00033]
**ἀρκεῖ** [00104]
**ἄρουραν** [00023]
**ἀῤῥωστήματος** [00041]
**ἀρχὴν** [00002]
**ἄσκησις** [00021]
**ἀσπάσασθαι** [00008]
**ἀσωμάτους** [00015]
**ἀτραπὸν** [00043]
**Αὖθις** [00111]
**Αὕτη** [00023]
**αὕτη** [00026] [00130]
**αὐτὴν** [00033]
**αὐτῆς** [00032] [00123]
**αὐτὸ** [00106] [00155]
**Αὐτοὶ** [00012]
**αὐτὸς** [00095] [00105] [00110]
**αὐτοῦ** [00012] [00093] [00094] [00131] [00149]
**αὐτῷ** [00160]
**αὐτῶν** [00112]
**ἀφανῶς** [00122]
**ἀφέστηκα** [00100]
**ἀφῆκε** [00125]
**ἀφήρπασε** [00029]
**ἀφορμὴν** [00006]
**ἀχαλίνωτα** [00041]
**ἁψάμενοι** [00155]
**ἅψομαι** [00103]
**ἅψωμαι** [00094]

**β** [00083]
**βαδιζούσης** [00043]
**βασιλέα** [00061] [00078]
**βασιλείαν** [00013]
**βασιλείας** [00130]
**βιαζομένης** [00044]
**βιαζόμενοι** [00054]
**βιαζομένοις** [00048]
**βιασθεῖσα** [00029]
**βίον** [00035]
**βίῳ** [00126]
**Βοήσω** [00073]
**βουλεύσασθαι** [00116]

**γὰρ** [00006] [00016] [00017] [00018] [00032] [00043] [00045] [00093] [00094] [00097] [00106] [00117] [00124] [00131] [00154] [00160]
**γάρ** [00012] [00048] [00068] [00070] [00105]
**γαστέρα** [00023]
**γαστὴρ** [00039]
**γέλωτα** [00088]
**γένει** [00012]
**γενέσθαι** [00006]
**γένη** [00026]
**γενναῖοι** [00012]
**γεννηθεὶς** [00051]
**γεννήτορα** [00014]
**γένωμαι** [00088]
**γενώμεθα** [00157]

γῆς [00050]
γλώσσης [00129]
γνησίαν [00065]
Γνοὺς [00131]
γνώμας [00156]
γνώμη [00103] [00126]
γνώμην [00065] [00140]
γονὴν [00029]
γόνιμον [00023]
γυναῖκα [00059]
γυναικὶ [00056] [00058]
γυναικὸς [00031] [00039] [00091] [00126] [00154] [00157]
γυναικός [00128]
Γυνὴ [00032]
γυνὴ [00038]

δαίμονας [00015]
δαίμονος [00029]
δαπανηθεὶς [00056]
δαπάνην [00023]
δὲ [00019] [00022] [00030] [00033] [00036] [00121] [00123] [00153] [00159]
δεδεμένη [00061]
δέδωκας [00138]
δειλιάσω [00088]
δεινῶν [00058]
δεξαμένην [00138]
δέξεται [00079]
δεξιώσεως [00006]
δεόμενος [00099]
δέους [00088]
δεσμὸν [00041]
Δέσποτα [00137] [00144]
Δεσπότης [00098] [00099]
δεσπότης [00108]
δεσποτικῶν [00155]
Δεσπότου [00004] [00109] [00159]
δεσπότου [00054]
δεύτερα [00031]
δημεύσεις [00056]
δῆμος [00155]
δι [00028]
διὰ [00014] [00016] [00025] [00027] [00031] [00031] [00127] [00155]
διαδέχεται [00004]
διαναστήσωμεν [00156]
διανοίᾳ [00147]
διάνοιαν [00041]
διαῤῥήξει [00041]
διδασκαλίας [00153]
διδασκάλου [00111]
διδάσκω [00151]
διέτεμε [00109]
διήγησις [00126]
δίκαιος [00148]
δικαιοσύνης [00018] [00125]
δικαστοῦ [00095]
Διώξουσιν [00074]
δοκοῦν [00048]
δόξα [00160]
δόξαν [00052]
δόσιν [00044] [00066]
δοῦλοι [00054]
δούλου [00109]
δραμεῖν [00152]
δράσω [00084]
δυνάμει [00015]
δυνάμεως [00012] [00053]
δύναμιν [00050] [00061] [00131]
δύναμις [00112]
δύναται [00106]
δυνατὸν [00022]
δυνατωτέρῳ [00049]
δυσκόλου [00107]
δύσκωφον [00048]
δυσωδίας [00040]
δώδεκα [00032] [00033]
δωδεκάετες [00041]
δωδεκαέτη [00154]
δῶρον [00030]

ἐὰν [00094]
ἑαυτῇ [00094] [00097]
ἐβεβαίωσαν [00017]
Ἐβουλόμην [00152]
ἐγεώργησεν [00023]
ἐγκρατείας [00021]
ἐγνώρισας [00139]
ἔγνωτε [00132]
ἐγχειρήσεως [00092]
ἐδαπάνα [00040]
ἔδει [00006] [00007] [00008] [00009] [00010] [00011]
Ἔδει [00006]
ἐδημοσίευσε [00123]
ἐδίωξας [00145]
ἐδραπέτευεν [00117]
ἐζήλωσεν [00155]
ἐθέλουσι [00044]
Εἰ [00109] [00112] [00154]
εἰ [00033] [00157]
εἴασε [00124]
Εἶδε [00060]
εἶδε [00061] [00061] [00061] [00061] [00062]
Εἶδεν [00061]
εἶδεν [00061] [00061] [00061]
εἶδες [00139]
εἴκω [00050]
εἰργάσαντο [00058]
Εἰς [00002] [00034]
εἰς [00002] [00002] [00005] [00157] [00160]
εἷς [00051] [00110]
εἰσι [00012]
εἰσόδῳ [00006]
εἶχε [00044] [00110]

**εἶχεν** [00038]
**ἐκ** [00051] [00095] [00135] [00149]
**ἑκάστην** [00159]
**ἐκδυσάμενοι** [00155]
**ἐκείνη** [00154] [00157]
**Ἐκείνη** [00122] [00158]
**ἐκείνης** [00028]
**ἐκεῖνος** [00130]
**ἐκείνου** [00052] [00053] [00108] [00129]
**ἐκόπτετο** [00041]
**Ἔλεγε** [00094] [00097]
**Ἐλεήσει** [00081]
**ἐλῄστευσεν** [00130]
**ἐλθόντα** [00061]
**ἐλθοῦσα** [00103]
**Ἐλισσαῖος** [00111]
**ἐλπίδα** [00061]
**ἐλπίσι** [00056]
**ἐμαυτήν** [00073]
**ἐμβατεύων** [00099]
**ἐμὲ** [00100]
**ἔμενεν** [00048]
**ἐμερίζοντο** [00091]
**ἐμῆς** [00148] [00149]
**ἐμοῦ** [00100]
**ἐμῶν** [00135]
**ἐν** [00015] [00032] [00050] [00094] [00097] [00107] [00109]
**ἕνα** [00065]
**ἐναλλαγῆς** [00008]
**ἐναπομείνωμεν** [00154]
**ἐνδημήσασαν** [00061]
**ἔνδοθεν** [00089] [00121]
**ἐνεργείας** [00105] [00143] [00148]
**ἐνιαυτοῦ** [00011]
**ἐνιαυτῷ** [00007]
**ἔννοιαν** [00062]
**ἐνόμιζεν** [00030]
**ἐνταῦθα** [00030]
**ἐξ** [00131]
**ἐξαγοράσει** [00050]
**ἐξελθοῦσαν** [00131]
**ἐξέλυσε** [00154]
**ἐξέπεμψας** [00144]
**ἐξημεροῦν** [00047]
**ἐξήντλησε** [00044]
**ἐξήντλησεν** [00122]
**Ἐξήρανε** [00030]
**ἐξηράνθη** [00119]
**ἔξωθεν** [00088] [00120]
**ἐπ** [00030]
**ἐπαγομένους** [00011]
**ἐπᾳδόντων** [00048]
**Ἐπάλληλον** [00004]
**ἐπεγίνωσκεν** [00121]
**ἐπέθηκας** [00143]
**ἐπήγαζεν** [00039]
**ἐπῄνεσεν** [00095]
**ἐπηρώτα** [00131]
**ἐπὶ** [00011] [00026] [00050]
**ἐπιδείκνυσθε** [00054]
**ἐπιζητήσει** [00066]
**ἐπιθυμία** [00045]
**ἐπίκοινον** [00005]
**ἐπιμέλεια** [00020]
**ἐπίνοιαι** [00047]
**ἐπιστάντος** [00011]
**ἐπίστευσε** [00118] [00119]
**Ἐπίστευσε** [00117]
**ἐπιστήμαις** [00050]
**ἐπιτήδειον** [00063]
**ἐπιτύχω** [00104]
**ἐπλούτησε** [00135]
**ἐποίησε** [00024]
**ἐπομβρία** [00004]
**ἐργασάμεναι** [00043]
**ἐργασαμένη** [00109]
**ἐργάτιν** [00110]
**ἔργοις** [00017]
**ἐῤῥυπωμένην** [00090]
**Ἐρυθρὰν** [00109]
**ἐσβεσμένης** [00149]
**ἐσκόπησας** [00140]
**ἔσται** [00112]
**ἐστι** [00099] [00099]
**ἐστὶν** [00098]
**ἑστιῶσιν** [00005]
**ἐσύλησαν** [00057]
**ἐσύλησεν** [00050]
**ἑτέραν** [00153]
**ἔτη** [00032] [00033]
**ἔτι** [00041]
**ἔτους** [00002] [00006] [00010]
**ἐτῶν** [00033]
**Εὐαγγελίων** [00126]
**εὐθυμίας** [00062]
**εὐλογίας** [00008]
**εὗρε** [00092]
**Εὗρον** [00063]
**εὐσέβειαν** [00157]
**εὐσεβείας** [00124]
**εὐσεβέσιν** [00006]
**εὐφημεῖται** [00129]
**εὐφροσύνης** [00005] [00012]
**εὐχαριστίαν** [00159]
**εὐωχίᾳ** [00011]
**ἐχαλίνου** [00111]
**ἐχαλίνωσε** [00116]
**Ἐχαρίσατο** [00126]
**ἔχω** [00067]
**ἐψηλάφησε** [00147]

**ζῆλον** [00156]
**Ζηλωτὴς** [00110]
**ζωὴν** [00013] [00061]

**ζωῆς** [00106]

**ἡ** [00004] [00019] [00020] [00021] [00028] [00029] [00038] [00039] [00045] [00061] [00061] [00061] [00068] [00109] [00112] [00112] [00114] [00119] [00120] [00126] [00127] [00128] [00129]
**ἢ** [00151] [00157]
**Ἢ** [00151]
**ἠγνόησας** [00145]
**ἠγνοήσατε** [00133]
**ἠκολούθει** [00030]
**ἠκούετο** [00025]
**Ἠλίας** [00025] [00110]
**ἡμᾶς** [00005] [00008]
**ἡμεῖς** [00154] [00156] [00157] [00159]
**ἡμέραν** [00153] [00154]
**ἡμέρας** [00009]
**ἡμερῶν** [00033]
**ἡμετέρας** [00156]
**ἣν** [00044] [00095]
**ἦν** [00033] [00107]
**ἠνάλωτο** [00033]
**ἤνεγκα** [00101]
**ἤνεγκεν** [00028]
**ἤρκεσεν** [00158]
**ἧς** [00016] [00155]
**ἥτις** [00035]
**ἠτόνουν** [00046]
**ἥψατο** [00131] [00134] [00136] [00141] [00142] [00146] [00150]
**Ἥψατο** [00093]

**θάλασσαν** [00024] [00109]
**θάνατον** [00012]
**θανάτου** [00014] [00014]
**θανάτῳ** [00014]
**θαυμάζεται** [00096]
**θαυμαστόν** [00095]
**θαύματι** [00153]
**θαυμάτων** [00110]
**θέαν** [00101]
**θέας** [00157]
**θεάσωμαι** [00055]
**θέατρον** [00088]
**Θεὸν** [00126]
**Θεὸς** [00098]
**θεότητα** [00147]
**Θεοῦ** [00110]
**θεραπείαις** [00061]
**θεραπείαν** [00122]
**θεραπεύει** [00114]
**θεραπεύειν** [00044]
**θεραπευθῆναι** [00036]
**θεραπευτὴν** [00063]
**θερμὸς** [00110]
**θηρίον** [00048] [00118]
**θηρίῳ** [00049]
**θησαυρῶν** [00135]
**θυγατέρα** [00029]
**θύραις** [00042]

**ἰαμάτων** [00061]
**ἰάσεται** [00115]
**ἴασιν** [00104] [00144]
**ἰάσομαι** [00089]
**ἰατρευόντων** [00050]
**ἰατροὶ** [00046]
**ἰατροῖς** [00035]
**ἰατρὸς** [00051] [00064]
**ἰατρός** [00099]
**ἰατρῷ** [00077]
**ἰατρῶν** [00042]
**Ἰδοὺ** [00005] [00032]
**Ἰησοῦ** [00093]
**Ἰησοῦν** [00060]
**Ἰησοῦς** [00131]
**ἱκετεύουσαν** [00079]
**ἱμάτιον** [00115]
**ἱματίου** [00093] [00094] [00120] [00158]
**ἰνδικτιῶνος** [00002]
**Ἰορδάνου** [00111]
**ἴστε** [00159]
**ἴσχυον** [00047]
**ἴσχυσε** [00036]
**ἴσχυσεν** [00037]
**ἰώμενος** [00099]
**In** [00001]

**κἀγὼ** [00052]
**καθ** [00159]
**καθάπερ** [00119]
**καθάψασθαι** [00158]
**καθήπτετο** [00120]
**καθυβρίζουσα** [00103]
**καιρὸς** [00153]
**καλὴ** [00021]
**καλλίνικοι** [00005]
**κάλλος** [00123]
**καλῶς** [00126]
**κἂν** [00100] [00159]
**καρτερίας** [00012]
**κατ** [00073]
**κατακρίνῃ** [00082]
**καταπατήσαντες** [00012]
**κατάσχω** [00071]
**καταφρονήσω** [00088]
**κατέβαλον** [00059]
**κατεδάμασεν** [00033]
**κατενόησας** [00140]
**κατέσχε** [00147]
**κατετρίβετο** [00042]
**κατεφέρετο** [00039]

**κατέχοντες** [00159]
**κατέχοντος** [00029]
**κατηγωνίσαντο** [00016]
**κατιοῦσαι** [00043]
**κατόπιν** [00103]
**κατόρθωμα** [00018]
**καυτῆρος** [00119]
**κεκτημένοι** [00017]
**κεναῖς** [00056]
**κέρδος** [00096]
**κήρυκες** [00012]
**κινδυνευούσης** [00057]
**κίνδυνον** [00072]
**κλαπέντα** [00095]
**κληρονομήσας** [00111]
**κλοπὰς** [00095]
**κλοπὴν** [00127]
**κλοπήν** [00132]
**κλοπῆς** [00095] [00095] [00095]
**κοσμηθῆναι** [00010]
**κόσμου** [00016] [00061]
**κράσπεδον** [00109]
**κρασπέδου** [00093] [00094]
**κρασπέδων** [00155]
**κρουνός** [00039]
**κρυπτομένην** [00100]
**Κρύψω** [00075]
**κτησαμένης** [00095]
**κύκλον** [00010]

**λαβοῦσα** [00029]
**λαλούσης** [00100]
**λαμπάδος** [00149]
**λαμπρὰ** [00019]
**λανθάνουσα** [00030]
**Λανθάνουσαν** [00103]
**λανθάνουσαν** [00043] [00140]
**λαοῦ** [00107]
**λέγεις** [00137]
**λέγουσα** [00063]
**λέγω** [00113]
**λέοντα** [00012]
**λεπρὸς** [00027]
**λήθης** [00125]
**ληστείαν** [00133]
**Ληστεύσασα** [00096]
**ληστὴν** [00128]
**ληστής** [00148]
**λογισμόν** [00085]
**λογισμὸς** [00056] [00147]
**λογισμοὺς** [00099] [00121]
**λογισμῶν** [00069]
**λόγους** [00017]
**λοιπὸν** [00153]
**λύπη** [00056]
**λύσει** [00041]
**λυτρωτὴν** [00061]
**λύχνον** [00149]

**μαθητὰς** [00131]
**μάθω** [00151]
**μακαρίας** [00031] [00031]
**μακροῖς** [00154]
**μανίαν** [00041]
**μαραινομένου** [00056]
**μαρασμῷ** [00035]
**μάρτυρας** [00002] [00006]
**μάρτυρες** [00005]
**μαρτύρων** [00010] [00011] [00155]
**μάρτυς** [00053]
**ματαίαν** [00013]
**μάχεσθε** [00049]
**μαχόμενα** [00056]
**με** [00050] [00051] [00066] [00068] [00147]
**Μέγα** [00018]
**Μέγας** [00107]
**μείνω** [00087]
**μείωσιν** [00035]
**μέλεσιν** [00159]
**μὲν** [00018] [00030] [00120] [00122]
**μερίζουσαν** [00061]
**μεσῖτιν** [00092]
**μετέπεσεν** [00034]
**μῆκος** [00040] [00056]
**μηλωτῇ** [00111]
**μηλωτὴν** [00110]
**μητέρα** [00013] [00095]
**μίαν** [00066] [00154]
**μιᾶς** [00126] [00157]
**μισεῖ** [00090]
**μισήσαντες** [00013]
**Μισθὸν** [00044]
**μισθὸν** [00064] [00065]
**μοι** [00104] [00116]
**μολύνουσαν** [00080]
**μόνης** [00068]
**Μόνον** [00094]
**μόνον** [00104] [00116] [00117] [00158]
**μόνος** [00051]
**μου** [00050] [00131] [00134] [00136] [00141] [00146] [00147] [00150]
**μυρία** [00026]
**Μωϋσῆς** [00024] [00107]

**νάματα** [00061]
**ναυάγιον** [00058]
**νεάζοντας** [00006]
**νεκρουμένοις** [00061]
**νεκρώσαντες** [00014]
**νέου** [00002]
**νέῳ** [00007]

**νίκην** [00022] [00054]
**νικήσαντες** [00015]
**νομῆς** [00050]
**νομοδότης** [00090]
**νόμος** [00090]
**νόσον** [00116]
**νόσος** [00068]
**νόσου** [00135]
**νοσοῦσαν** [00090]
**νόσῳ** [00046]
**νυκτί** [00125]
**νυκτοποροῦσα** [00042]

**ό** [00064] [00090] [00095] [00110] [00121] [00123] [00131] [00148] [00153] [00155]
**Ό** [00090] [00098]
**Ὀδύναις** [00041]
**ὀδύνην** [00076]
**οἱ** [00005] [00012] [00012] [00012] [00013] [00014] [00015] [00054]
**οἶδας** [00138]
**οἶδεν** [00101]
**οἰκείους** [00005]
**οἰκείῳ** [00014]
**οἰκτείρει** [00090]
**οἶμαι** [00034] [00065]
**ὄκνος** [00091]
**ὅλον** [00035]
**ὁμοίας** [00156]
**ὁμοίως** [00020]
**ὁμοῦ** [00031]
**ὅμως** [00107] [00110]
**ὄπισθεν** [00093]
**ὅπλον** [00057]
**ὁπόσος** [00033]
**ὁρᾷ** [00100]
**ὅρα** [00095]
**ὅτι** [00094] [00101]
**Οὐ** [00055] [00106]
**οὐ** [00015] [00059] [00076] [00099] [00103] [00113] [00155]
**οὐδὲ** [00040]
**οὐδεὶς** [00050]
**οὐδείς** [00050]
**οὐδὲν** [00016] [00098]
**οὐδενὸς** [00036]
**Οὐκ** [00037]
**οὐκ** [00028] [00047] [00050] [00050] [00057] [00058] [00064] [00068] [00101] [00109] [00115] [00118] [00124] [00125] [00132] [00138] [00139] [00140] [00154] [00154]
**οὖν** [00054] [00084] [00102] [00109] [00112]
**οὐρανῷ** [00025]
**οὐρανῶν** [00013]
**οὖς** [00028]
**οὗτος** [00064] [00108] [00148]
**οὕτως** [00046]
**οὐχὶ** [00033]
**ὀφθαλμός** [00099]
**ὀφθαλμοὺς** [00028]
**ὀφθαλμῶν** [00099]
**ὄφιν** [00012]
**ὀχετῷ** [00040]
**ὄψει** [00103]
**ὄψιν** [00140]

**πάθει** [00117] [00154]
**πάθος** [00034] [00041] [00081] [00145]
**πάθους** [00027] [00038] [00047]
**παθῶν** [00026] [00061]
**παλάμη** [00129]
**πάλιν** [00087]
**πανήγυριν** [00009]
**πάντες** [00046]
**πάντων** [00016] [00022] [00042]
**πάντως** [00101] [00105]
**παρ** [00112] [00151]
**παρὰ** [00004] [00030] [00112]
**παράδεισον** [00130]
**παραδοθῆναι** [00125]
**παραίτιοι** [00012]
**παρασχούσης** [00117]
**παρήγγιζεν** [00120]
**παρῃτεῖτο** [00043]
**παρθένου** [00051]
**παροῦσαν** [00013]
**παρούσης** [00009]
**πᾶσαν** [00044]
**πάσης** [00012]
**παύσει** [00041]
**πεζεύεσθαι** [00024]
**πείθει** [00045]
**πειρασμῶν** [00059]
**πεπλήρωται** [00105]
**πέρας** [00152]
**περὶ** [00029]
**περιβόλαιον** [00106]
**περιουσίαν** [00044]
**Πέτρου** [00114]
**πετρώσῃ** [00109]
**πηγὴ** [00119]
**πηγὴν** [00061]
**πίστει** [00015] [00127]
**πιστεύουσαν** [00139]
**πίστεως** [00016] [00022] [00027] [00057] [00066] [00117] [00156]
**Πίστιν** [00017]
**πίστιν** [00092] [00095] [00126] [00139] [00155]
**πίστις** [00030] [00128]
**πιστοῖς** [00007]
**πλάσματος** [00055]
**πλάστην** [00055]
**πλεομένην** [00024]
**πλέον** [00157]
**πλεονέκτημα** [00022]
**πλῆθος** [00088]
**πλήθους** [00072]
**πλοῦτον** [00004]
**ποθήσαντες** [00013]

**ποιήσομαι** [00103]
**ποικίλαι** [00047]
**ποῖον** [00085]
**πολεμηθεῖσα** [00154]
**πολέμιοι** [00057]
**πολέμιον** [00038]
**πόλεμον** [00089]
**πολεμοῦν** [00117]
**πολεμοῦντες** [00046]
**πολλὴν** [00023]
**πόνους** [00054]
**πόσα** [00056]
**πόση** [00112]
**ποσὶ** [00012]
**πόσον** [00116]
**ποτὲ** [00023]
**που** [00105]
**πρέπει** [00160]
**πρὶν** [00130]
**πρὸ** [00129] [00147]
**προαρπάζειν** [00054]
**Προέλαβε** [00128]
**Προθυμία** [00091]
**προλαμβανούσης** [00030]
**προοίμια** [00008]
**πρὸς** [00023] [00052] [00104] [00152] [00156]
**προσαναλώσασα** [00035]
**προσβολαὶ** [00059]
**προσδραμοῦσα** [00071]
**προσδράμω** [00077]
**προσέθηκε** [00035]
**Προσελθοῦσα** [00093]
**προσέταττεν** [00025]
**προσθήκης** [00111]
**πρόσοδον** [00103]
**προσφέρωμεν** [00159]
**προτεθεικότες** [00005]
**προφήταις** [00107] [00112]
**προφητευομένου** [00112]
**πρώην** [00031]
**πύλας** [00014]
**πῶς** [00041] [00041] [00041] [00041] [00041] [00109] [00132] [00133]

**ῥάβδος** [00109]
**ῥεῖθρα** [00041] [00111]
**ῥεύματα** [00109]
**ῥοὰς** [00030]
**ῥύσει** [00032]

**Σάῤῥας** [00023]
**σημεῖον** [00004]
**σήμερον** [00005]
**σιγῶντος** [00030]
**σιγῶσα** [00030]
**σιωπῇ** [00130]
**σκιὰ** [00114]
**σου** [00142]
**σπινθῆρα** [00125]
**σταγόνες** [00043]
**στεφανουμένων** [00095]
**στεφάνῳ** [00010]
**στηλιτεύσωσι** [00043]
**στήσει** [00041]
**στρατιῶται** [00012]
**σὺ** [00138]
**συλησάσης** [00126]
**συλήσῃ** [00130]
**σύλων** [00095]
**συμμαχοῦσαν** [00029]
**συμπόσιον** [00005]
**συμπράκτορα** [00017]
**συμφοράν** [00075]
**συντόμως** [00113]
**συρομένη** [00042]
**σώζοντα** [00061]
**σωθεῖσαν** [00145]
**σωθήσομαι** [00094]
**σῶμα** [00155] [00159]
**σώματι** [00015] [00050] [00122]
**σωματικῶν** [00099]
**σώματος** [00015] [00035] [00056]
**Σωτὴρ** [00123]
**σωτηρίας** [00106] [00149]
**Σωτῆρος** [00026] [00159]
**σωφρονιστὴς** [00107]
**σωφροσύνης** [00019]

**τὰ** [00008] [00031] [00031] [00041] [00056] [00073] [00109] [00111]
**τὰς** [00014] [00041] [00095] [00156]
**ταύτῃ** [00024]
**ταύτην** [00029]
**ταύτης** [00025] [00068] [00129]
**τειχοποιίαν** [00109]
**τερπούσης** [00095]
**τετιμημένην** [00009]
**τέχνης** [00048]
**τῇ** [00006] [00006] [00011] [00046] [00056] [00058] [00103] [00103] [00111] [00126] [00130] [00147]
**τὴν** [00002] [00007] [00009] [00011] [00012] [00013] [00013] [00022] [00023] [00023] [00029] [00035] [00040] [00041] [00041] [00043] [00044] [00047] [00050] [00050] [00059] [00061] [00075] [00076] [00091] [00101] [00109] [00111] [00116] [00122] [00131] [00132] [00133] [00138] [00139] [00139] [00140] [00140] [00144] [00145] [00147] [00155]
**τηροῦμαι** [00053]
**τῆς** [00002] [00008] [00009] [00012] [00014] [00018] [00019] [00020] [00021] [00022] [00023] [00039] [00040] [00043] [00044] [00045] [00048] [00050] [00053] [00057] [00057] [00077] [00091] [00092] [00105] [00106] [00110] [00128] [00129] [00130] [00143] [00148] [00149] [00149] [00152] [00154] [00154] [00156]
**Τί** [00049] [00054] [00070] [00084] [00102] [00113] [00137]
**τι** [00048]
**τιμήν** [00011]
**τιμωμένη** [00127]
**τιμωρούμενος** [00095]
**τιμῶσα** [00103]
**τίνι** [00143] [00144]
**τινος** [00119]

**Τίς** [00127] [00141] [00142] [00146] [00150]
**τίς** [00131] [00134] [00135] [00136] [00147] [00147] [00148] [00149]
**τις** [00039]
**Τὸ** [00145]
**τὸ** [00018] [00022] [00030] [00030] [00034] [00037] [00040] [00041] [00043] [00057] [00081] [00088] [00095] [00096] [00106] [00109] [00115] [00116] [00117] [00118] [00123] [00143] [00152] [00155] [00159]
**τοιαῦτα** [00048]
**τοιαύτη** [00011]
**τοιαύτην** [00007] [00062] [00124]
**τοίνυν** [00156]
**τοῖς** [00006] [00007] [00044] [00048] [00109] [00112] [00120] [00154] [00159]
**Τὸν** [00072]
**τὸν** [00010] [00012] [00012] [00014] [00035] [00038] [00041] [00055] [00060] [00061] [00061] [00061] [00088] [00089] [00095] [00128] [00130] [00130] [00149] [00154]
**τόνον** [00154]
**τοσαῦται** [00058] [00059]
**τοσαύτη** [00112]
**τοσαύτης** [00008]
**τοσοῦτοι** [00057]
**Τοσοῦτος** [00033]
**τοσοῦτος** [00050]
**τοσούτου** [00040]
**τοῦ** [00002] [00004] [00006] [00008] [00010] [00011] [00012] [00014] [00016] [00023] [00023] [00026] [00027] [00029] [00035] [00038] [00041] [00047] [00055] [00061] [00072] [00088] [00093] [00093] [00093] [00094] [00094] [00103] [00105] [00109] [00109] [00110] [00111] [00111] [00112] [00115] [00159] [00159]
**τοὺς** [00005] [00006] [00015] [00017] [00121] [00131] [00160]
**τοῦτο** [00104]
**τούτων** [00021]
**τρεφόμενοι** [00159]
**τρέχουσαν** [00116]
**τρικυμίαι** [00058]
**τυραννόφρονα** [00012]
**τυφλὸς** [00028]
**τυφλωθεῖσα** [00119]
**τῷ** [00007] [00009] [00010] [00012] [00014] [00035] [00040] [00117] [00122] [00126] [00153] [00154]
**τῶν** [00004] [00009] [00010] [00011] [00013] [00016] [00026] [00027] [00035] [00041] [00043] [00048] [00050] [00053] [00058] [00061] [00109] [00119] [00126] [00135] [00147] [00155] [00160]

**ὑγείαν** [00135]
**ὑγιείας** [00045]
**ὕδασι** [00109]
**υἱοὶ** [00013]
**ὑμῶν** [00151]
**ὑπ** [00036]
**ὑπανῆψεν** [00149]
**ὑπαντῆσαι** [00007]
**ὑπηρέτης** [00110]
**ὑπῆρχε** [00110]
**ὑπό** [00119]
**ὑποδέξασθαι** [00009]
**ὑποθέσεως** [00152]
**ὑπομένουσαν** [00059]
**ὑπομονῆς** [00154]
**ὑποστέλλομαι** [00072]

**φαινομένην** [00140]
**φανεῖσαν** [00082]
**φανερώσαντες** [00012]
**φανῶ** [00086]
**φάρμακον** [00143]
**φαρμάκων** [00047]
**φείδεσθαι** [00045]
**φείσομαι** [00055]
**φέρει** [00022]
**φέρω** [00076]
**φησὶ** [00032] [00060] [00098]
**φησὶν** [00093] [00131]
**φιλάνθρωπος** [00108]
**φιλοθεΐας** [00012]
**φιλόνεικον** [00118]
**φιλοπτωχίας** [00020]
**φλεβῶν** [00041]
**φοβοῦμαι** [00078]
**φολίδων** [00027]
**φορὰν** [00040] [00050]
**φοροῦντος** [00105]
**φροντίσιν** [00041]
**φυγαδεύσει** [00051]
**φύγη** [00080]
**φύγω** [00088]
**φυλάττει** [00153]
**φυλάττομαι** [00052]
**φύσεως** [00077] [00110]
**φύσιν** [00034]
**φύσις** [00028]
**φωνῇ** [00130]
**φῶς** [00043]

**χαλεποῦ** [00041]
**Χαναναία** [00029]
**χαρᾶς** [00061]
**χάριν** [00111]
**χάρις** [00112]
**χαρισαμένη** [00096]
**χάρισμα** [00030]
**χάριτι** [00006]
**χειμαζομένη** [00061]
**χείρους** [00157]
**χειρῶν** [00147]
**χερσεύουσαν** [00023]
**χερσὶν** [00012]
**χιτῶνος** [00103]
**χορηγὸν** [00130]
**χορῷ** [00009]
**χρήμασιν** [00050]
**χρημάτων** [00035] [00045]
**χρήσασθαι** [00011]
**χρήσιμος** [00020]
**Χριστιανοῖς** [00016]
**Χριστὸν** [00155]
**Χριστοῦ** [00004] [00012] [00115]
**χρόνον** [00154]
**χρόνος** [00033] [00050]
**χρόνου** [00008] [00023] [00040] [00056]

**χρυσίου** [00064]

**ψυχὰς** [00099]
**ψυχὴν** [00091]
**ψυχῆς** [00015]
**ψυχικὸν** [00123]

ὢ [00095] [00095] [00095]
ὦ [00137]
**Ὢ** [00031] [00037] [00056] [00095] [00117]
**ὠδῖνας** [00041]
**ὡραιότητα** [00124]
**ὡς** [00013] [00013] [00018] [00030] [00034] [00065] [00074] [00078] [00080] [00090] [00090] [00096] [00101] [00127] [00159] [00159]
**Ὡς** [00077] [00079]
**ὥσπερ** [00048] [00048]